BLOOMSBURY

# *Electra* 215–331 (here 1–117)

# 2020–2021 Prescription

Electra οἴμοι, γυναῖκες, ἐξέβην θρηνημάτων.
ξένοι τινὲς παρ′ οἶκον οἵδ′ ἐφεστίους
εὐνὰς ἔχοντες ἐξανίστανται λόχου·
φυγῇ σὺ μὲν κατ′ οἶμον, ἐς δόμους δ′ ἐγὼ
φῶτας κακούργους ἐξαλύξωμεν ποδί.

Orestes μέν′, ὦ τάλαινα· μὴ τρέσῃς ἐμὴν χέρα.

El. ὦ Φοῖβ′ Ἄπολλον, προσπίτνω σε μὴ θανεῖν.

Or. ἄλλους κτάνοιμι μᾶλλον ἐχθίους σέθεν.

El. ἄπελθε, μὴ ψαῦ′ ὧν σε μὴ ψαύειν χρεών.

Or. οὐκ ἔσθ′ ὅτου θίγοιμ′ ἂν ἐνδικώτερον.

El. καὶ πῶς ξιφήρης πρὸς δόμοις λοχᾷς ἐμοῖς;

Or. μείνασ′ ἄκουσον, καὶ τάχ′ οὐκ ἄλλως ἐρεῖς.

El. ἕστηκα· πάντως δ′ εἰμὶ σή· κρείσσων γὰρ εἶ.

Or. ἥκω φέρων σοι σοῦ κασιγνήτου λόγους.

El. ὦ φίλτατ′, ἆρα ζῶντος ἢ τεθνηκότος;

Or. ζῇ· πρῶτα γάρ σοι τἀγάθ′ ἀγγέλλειν θέλω.

El. εὐδαιμονοίης, μισθὸν ἡδίστων λόγων.

Or. κοινῇ δίδωμι τοῦτο νῷν ἀμφοῖν ἔχειν.

El. ποῦ γῆς ὁ τλήμων τλήμονας φυγὰς ἔχων;

Or. οὐχ ἕνα νομίζων φθείρεται πόλεως νόμον.

El. οὔ που σπανίζων τοῦ καθ′ ἡμέραν βίου;

Or. ἔχει μέν, ἀσθενὴς δὲ δὴ φεύγων ἀνήρ.

El. λόγον δὲ δὴ τίν′ ἦλθες ἐκ κείνου φέρων;

Or. εἰ ζῇς, ὅπως τε ζῶσα συμφορᾶς ἔχεις.

El. οὐκοῦν ὁρᾷς μου πρῶτον ὡς ξηρὸν δέμας.

Or. λύπαις γε συντετηκός, ὥστε με στένειν.

El. καὶ κρᾶτα πλόκαμόν τ′ ἐσκυθισμένον ξυρῷ.

Or. δάκνει σ′ ἀδελφὸς ὅ τε θανὼν ἴσως πατήρ.

El. οἴμοι· τί γάρ μοι τῶνδέ γ′ ἐστὶ φίλτερον;

Or. φεῦ φεῦ· τί δ′ αὖ σοῦ σῷ κασιγνήτῳ, δοκεῖς;

El. ἀπὼν ἐκεῖνος, οὐ παρὼν ἡμῖν φίλος.

Or. ἐκ τοῦ δὲ ναίεις ἐνθάδ′ ἄστεως ἑκάς;

El. ἐγημάμεσθ′, ὦ ξεῖνε, θανάσιμον γάμον.

Or. ᾤμωξ′ ἀδελφὸν σόν. Μυκηναίων τίνι;

El. οὐχ ᾧ πατήρ μ′ ἤλπιζεν ἐκδώσειν ποτέ.

Or. εἴφ′, ὡς ἀκούσας σῷ κασιγνήτῳ λέγω.

El. ἐν τοῖσδ′ ἐκείνου τηλορὸς ναίω δόμοις.

Or. σκαφεύς τις ἢ βουφορβὸς ἄξιος δόμων.

El. πένης ἀνὴρ γενναῖος ἔς τ᾽ ἔμ᾽ εὐσεβής.

Or. ἡ δ᾽εὐσέβεια τίς πρόσεστι σῷ πόσει;

El. οὐπώποτ᾽ εὐνῆς τῆς ἐμῆς ἔτλη θιγεῖν.

Or. ἅγνευμ᾽ ἔχων τι θεῖον ἤ σ᾽ ἀπαξιῶν;

El. γονέας ὑβρίζειν τοὺς ἐμοὺς οὐκ ἠξίου.

Or. καὶ πῶς γάμον τοιοῦτον οὐχ ἥσθη λαβών;

El. οὐ κύριον τὸν δόντα μ᾽ ἡγεῖται, ξένε.

Or. ξυνῆκ᾽· Ὀρέστῃ μή ποτ᾽ ἐκτείσῃ δίκην.

El. τοῦτ᾽ αὐτὸ ταρβῶν· πρὸς δὲ καὶ σώφρων ἔφυ.

Or. φεῦ· γενναῖον ἄνδρ᾽ ἔλεξας, εὖ τε δραστέον.

El. εἰ δή ποθ᾽ ἥξει γ᾽ ἐς δόμους ὁ νῦν ἀπών.

Or. μήτηρ δέ σ᾽ ἡ τεκοῦσα ταῦτ᾽ ἠνέσχετο;

El. γυναῖκες ἀνδρῶν, ὦ ξέν᾽, οὐ παίδων φίλαι.

Or. τίνος δέ σ᾽ οὕνεχ᾽ ὕβρισ᾽ Αἴγισθος τάδε;

El. τεκεῖν μ᾽ ἐβούλετ᾽ ἀσθενῆ, τοιῷδε δούς.

Or. ὡς δῆθε παῖδας μὴ τέκοις ποινάτορας;

El. τοιαῦτ᾽ ἐβούλευσ᾽· ὧν ἐμοὶ δοίη δίκην.

Or. οἶδεν δέ σ᾽ οὖσαν παρθένον μητρὸς πόσις;

El. οὐκ οἶδε· σιγῇ τοῦθ᾽ ὑφαιρούμεσθά νιν.

Or. αἵδ᾽ οὖν φίλαι σοι τούσδ᾽ ἀκούουσιν λόγους;

El. ὥστε στέγειν γε τἀμὰ καὶ σ᾽ ἔπη καλῶς.

Or. τί δῆτ᾽ Ὀρέστης πρὸς τόδ᾽, Ἄργος ἢν μόλῃ;

El. ἤρου τόδ᾽; αἰσχρόν γ᾽ εἶπας · οὐ γὰρ νῦν ἀκμή;

Or. ἐλθὼν δὲ δὴ πῶς φονέας ἂν κτάνοι πατρός;

El. τολμῶν ὑπ᾽ ἐχθρῶν οἷ᾽ ἐτολμήθη πατήρ.

Or. ἦ καὶ μετ᾽ αὐτοῦ μητέρ᾽ ἂν τλαίης κτανεῖν;

El. ταὐτῷ γε πελέκει τῷ πατὴρ ἀπώλετο.

Or. λέγω τάδ᾽ αὐτῷ, καὶ βέβαια τἀπὸ σοῦ;

El. θάνοιμι μητρὸς αἷμ᾽ ἐπισφάξασ᾽ ἐμῆς.

Or. φεῦ· εἴθ᾽ ἦν Ὀρέστης πλησίον κλύων τάδε.

El. ἀλλ᾽, ὦ ξέν᾽, οὐ γνοίην ἂν εἰσιδοῦσά νιν.

Or. νέα γάρ, οὐδὲν θαῦμ᾽, ἀπεζεύχθης νέου.

El. εἷς ἂν μόνος νιν τῶν ἐμῶν γνοίη φίλων.

Or. ἆρ᾽ ὃν λέγουσιν αὐτὸν ἐκκλέψαι φόνου;

El. πατρός γε παιδαγωγὸς ἀρχαῖος γέρων.

Or. ὁ κατθανὼν δὲ σὸς πατὴρ τύμβου κυρεῖ;

El. ἔκυρσεν ὡς ἔκυρσεν, ἐκβληθεὶς δόμων.

Or. οἴμοι, τόδ᾽ οἷον εἶπας· αἴσθησις γὰρ οὖν

BLOOMSBURY

καὶ τῶν θυραίων πημάτων δάκνει βροτούς.
λέξον δ′, ἵν′ εἰδὼς σῷ κασιγνήτῳ φέρω
λόγους ἀτερπεῖς, ἀλλ′ ἀναγκαίους κλύειν.
ἔνεστι δ′ οἶκτος ἀμαθίᾳ μὲν οὐδαμοῦ,
σοφοῖσι δ′ ἀνδρῶν· καὶ γὰρ οὐδ′ ἀζήμιον
γνώμην ἐνεῖναι τοῖς σοφοῖς λίαν σοφήν.

Ch. κἀγὼ τὸν αὐτὸν τῷδ′ ἔρον ψυχῆς ἔχω.
πρόσω γὰρ ἄστεως οὖσα τἀν πόλει κακὰ
οὐκ οἶδα, νῦν δὲ βούλομαι κἀγὼ μαθεῖν.

El. λέγοιμ′ ἄν, εἰ χρή (χρὴ δὲ πρὸς φίλον λέγειν)
τύχας βαρείας τὰς ἐμὰς κἀμοῦ πατρός.
ἐπεὶ δὲ κινεῖς μῦθον, ἱκετεύω, ξένε,
ἄγγελλ′ Ὀρέστῃ τἀμὰ κἀκείνου κακά,

πρῶτον μὲν οἵοις ἐν πέπλοις αὐλίζομαι,
πίνῳ θ᾽ ὅσῳ βέβριθ᾽, ὑπὸ στέγαισί τε
οἵαισι ναίω βασιλικῶν ἐκ δωμάτων,
αὐτὴ μὲν ἐκμοχθοῦσα κερκίσιν πέπλους
ἢ γυμνὸν ἕξω σῶμα καὶ στερήσομαι
αὐτὴ δὲ πηγὰς ποταμίους φορουμένη,
ἀνέορτος ἱερῶν καὶ χορῶν τητωμένη.
ἀναίνομαι γυναῖκας οὖσα παρθένος,
αἰσχύνομαι δὲ Κάστορ᾽, ὃς πρὶν ἐς θεοὺς
ἐλθεῖν ἔμ᾽ ἐμνήστευεν, οὖσαν ἐγγενῆ.
μήτηρ δ᾽ ἐμὴ Φρυγίοισιν ἐν σκυλεύμασιν
θρόνῳ κάθηται, πρὸς δ᾽ ἕδραισιν Ἀσίδες
δμωαὶ στατίζουσ᾽, ἃς ἔπερσ᾽ ἐμὸς πατήρ,

Ἰδαῖα φάρη χρυσέαις ἐζευγμέναι
πόρπαισιν. αἷμα δ᾽ ἔτι πατρὸς κατὰ στέγας
μέλαν σέσηπεν, ὃς δ᾽ ἐκεῖνον ἔκτανεν
ἐς ταὐτὰ βαίνων ἅρματ᾽ ἐκφοιτᾷ πατρί,
καὶ σκῆπτρ᾽ ἐν οἷς Ἕλλησιν ἐστρατηλάτει
μιαιφόνοισι χερσὶ γαυροῦται λαβών.
Ἀγαμέμνονος δὲ τύμβος ἠτιμασμένος
οὔπω χοάς ποτ᾽ οὐδὲ κλῶνα μυρσίνης
ἔλαβε, πυρὰ δὲ χέρσος ἀγλαϊσμάτων.
μέθῃ δὲ βρεχθεὶς τῆς ἐμῆς μητρὸς πόσις
ὁ κλεινός, ὡς λέγουσιν, ἐνθρῴσκει τάφῳ
πέτροις τε λεύει μνῆμα λάϊνον πατρός,
καὶ τοῦτο τολμᾷ τοὔπος εἰς ἡμᾶς λέγειν·

‘ποῦ παῖς Ὀρέστης; ἆρά σοι τύμβῳ καλῶς

παρὼν ἀμύνει;’ ταῦτ′ ἀπὼν ὑβρίζεται.